εἰπεῖν ὅτι παιδευθέντες μὲν εὖ γίγνοιντ᾽ ἂν ἄνδρες ἀγαθοί,
γενόμενοι δὲ τοιοῦτοι τά τε ἄλλα πράττοιεν καλῶς, ἔτι δὲ c
κἂν νικῷεν τοὺς πολεμίους μαχόμενοι. Παιδεία μὲν οὖν
φέρει καὶ νίκην, νίκη δ᾽ ἐνίοτε ἀπαιδευσίαν· πολλοὶ γὰρ
ὑβριστότεροι διὰ πολέμων νίκας γενόμενοι μυρίων ἄλλων
κακῶν δι᾽ ὕβριν ἐνεπλήσθησαν, καὶ παιδεία μὲν οὐδεπώποτε
γέγονεν Καδμεία, νῖκαι δὲ ἀνθρώποις πολλαὶ δὴ τοιαῦται
γεγόνασίν τε καὶ ἔσονται.

ΚΛ. Δοκεῖς ἡμῖν, ὦ φίλε, τὴν ἐν τοῖς οἴνοις κοινὴν
διατριβὴν ὡς εἰς παιδείας μεγάλην μοῖραν τείνουσαν λέγειν, d
ἂν ὀρθῶς γίγνηται.

ΑΘ. Τί μήν;

ΚΛ. Ἔχοις ἂν οὖν τὸ μετὰ τοῦτ᾽ εἰπεῖν ὡς ἔστιν τὸ νῦν
εἰρημένον ἀληθές;

ΑΘ. Τὸ μὲν ἀληθές, ὦ ξένε, διισχυρίζεσθαι ταῦτα οὕτως
ἔχειν, πολλῶν ἀμφισβητούντων, θεοῦ· εἰ δ᾽ ὅπῃ ἐμοὶ φαί-
νεται δεῖ λέγειν, οὐδεὶς φθόνος, ἐπείπερ ὡρμήκαμέν γε
τοὺς λόγους περὶ νόμων καὶ πολιτείας ποιεῖσθαι τὰ νῦν.

ΚΛ. Τοῦτ᾽ αὐτὸ δὴ πειρώμεθα, τὸ σοὶ δοκοῦν περὶ τῶν
νῦν ἀμφισβητουμένων καταμαθεῖν. e

ΑΘ. Ἀλλὰ χρὴ ποιεῖν οὕτως, ὑμᾶς τε ἐπὶ τὸ μαθεῖν καὶ
ἐμὲ ἐπὶ τὸ δηλῶσαι πειρώμενον ἁμῶς γέ πως, συντεῖναι,
τὸν λόγον. Πρῶτον δέ μου ἀκούσατε τὸ τοιόνδε. Τὴν πόλιν
ἅπαντες ἡμῶν Ἕλληνες ὑπολαμβάνουσιν ὡς φιλόλογός τέ
ἐστι καὶ πολυλόγος, Λακεδαίμονα δὲ καὶ Κρήτην, τὴν μὲν
βραχύλογον, τὴν δὲ πολύνοιαν μᾶλλον ἢ πολυλογίαν ἀσκοῦ-
σαν· σκοπῶ δὴ μὴ δόξαν ὑμῖν παράσχωμαι περὶ σμικροῦ 642 a
πολλὰ λέγειν, μέθης πέρι, σμικροῦ πράγματος, παμμήκη
λόγον ἀνακαθαιρόμενος. Τὸ δὲ ἡ κατὰ φύσιν αὐτοῦ διόρ-
θωσις οὐκ ἂν δύναιτο ἄνευ μουσικῆς ὀρθότητός ποτε σαφὲς